Στρ. Ὦ γῆ τοῦ φθέγματος, ὡς ἱερὸν καὶ σεμνὸν καὶ τερατῶδες. A

Σω. Αὗται γάρ τοι μόναι εἰσὶ θεαί. τἄλλα δὲ πάντ' ἐστὶ φλύαρος.

Στρ. Ὁ Ζεὺς δ' ἡμῖν φέρε πρὸς τῆς γῆς ὁ ὑλύμπιος οὐ θεός ἐστιν;

Σω. Ποῖος Ζεύς; οὐ μὴ ληρήσεις, οὐδ' ἐστὶ Ζεύς. Στρ. τί λέγεις σύ;

Ἀλλὰ τίς ὕει; τουτὶ γὰρ ἔμοιγ' ἀπόφηναι πρῶτον ἁπάντων. B

Σω. Αὗται δήπου, μεγάλοις δὲ σημείοις ἐγώ σ' αὐτὸ διδάξω.

Φέρε. ποῦ γὰρ πώποτ' ἄνευ Νεφελῶν ὕοντ' ἤδη τεθέασαι;

Καίτοι χρῆν, αἰθρίας ὕειν αὐτόν. ταύτας δ' ἀποδημεῖν.

Στρ. Νὴ τὸν Ἀπόλλω, τούτῳ γέ τοι τῷ νυνὶ λόγῳ εὖ προσέφυσας. C

Καίτοι πρότερον τὸν Δί' ἀληθῶς ᾤμην διὰ κοσκίνου οὐρεῖν.

Ἀλλ' ὅστις ὁ βροντῶν ἐστι, φράσον. τοῦτό με ποιεῖ τετρεμαίνειν.

Σω. Αὗται βροντῶσι κυλινδόμεναι. Στρ. τῷ τρόπῳ ὦ πάντα σὺ τολμῶν;

Σω. Ὅταν ἐμπλησθῶσ' ὕδατος πολλοῦ κἀναγκασθῶσι φέρεσθαι, D

Κατακρημνάμεναι πλήρεις ὄμβρου δι' ἀνάγκην, εἶτα βαρεῖαι

Εἰς ἀλλήλας ἐμπίπτουσαι, ῥήγνυνται καὶ παταγοῦσιν.

Στρ. Ὁ δ' ἀναγκάζων ἐστὶ τίς αὐτάς, οὐχ ὁ Ζεὺς ὥστε φέρεσθαι;

Σω. Ἥκιστ' ἀλλ' αἰθέριος Δῖνος. Στρ. Δῖνος, τουτί μ' ἐλελήθει.

Ὁ Ζεὺς οὐκ ὤν, ἀλλ' ἀντ' αὐτοῦ Δῖνος νυνὶ βασιλεύων; E

Ἀτὰρ οὐδέπω περὶ τοῦ πατάγου καὶ τῆς βροντῆς μ' ἐδίδαξας.

Σω. Οὐκ ἤκουσάς μου. τὰς Νεφέλας ὕδατος μεστὰς ὅτι φημί

Ἐμπιπτούσας εἰς ἀλλήλας παταγεῖν διὰ τὴν πυκνότητα;

A ST. *O tellus, quæ vox hæc? quàm sacra? quàm grauis & prodigiosa?*

SO. *Sanè hæ solæ sunt Deæ amicæ nobis: alia omnia, nugæ.*

ST. *At Iuppiter Olympius, age dic per terram, an non Deus ipse est?*

SO. *Quinam Iuppiter? oh, ne nugeris, non est Iuppiter vllus.*

B ST. *Quid ais? quis pluit ergo? hoc expedias ante omnia nobis.*

SO. *Hæ scilicet: id quod multis ego te signis ritè docebo.*

*Age dic, vbi tu Iouem vnquam vidisti sine Nube pluentem?*

*At oportebat eum, his amotis, cœli pluere axe sereno.*

C ST. *Ita per Phœbum: huic tu rationi bene te nunc applicuisti.*

*Nam ego Iouem antehac censebam per magnum aliquod meiere cribrum.*

*Verùm age, dic mihi, quis tonat? etenim hoc mihi terrorem incutit ægro.*

SO. *Hæ quippe tonant, cùm prouoluuntur.* ST. *homo audacissime: qui dum?*

SO. *Vbi repletæ fuerint multa aqua, & impulsæ, vt vi cieantur,*

D *Et postea suspensæ, plenæ imbri, vti necesse, inde graues, &*

*Collapsæ in se inuicem: ibi rumpuntur demum, eduntq; fragorem.*

ST. *Sed quisnam est, qui impellit eas, annon Iuppiter, vt cieantur?*

SO. *Minimè, sed turbo ætherius.* ST. *turbo? hoc verò me antè latebat.*

E *An non est Iuppiter? an nunc habet imperium pro Ioue turbo?*

*Sed tu me nondum de tonitru atque fragore illo docuisti.*

SO. *Non percepisti me? dico, si aquis Nubes fortè redundent,*

*Collapsas in se inuicem, & addensatas, dare ab axe fragorem.*

F

Σχόλια. Καίτοι χρῆν] ἀντὶ τοῦ, καίτοι ἐχρῆν. αἰθρίας οὔσης ὕειν αὐτόν. εἰ τὸ βρέχειν ἦν φησιν ἐν τῇ τοῦ Διὸς ἐξουσίᾳ, καὶ μὴ τῶν Νεφελῶν ἦν τοῦτο τὸ ἔργον, ἐχρῆν αὐτὸν καθ' ἑαυτὸν ὕειν ἄνευ Νεφελῶν. ἄλλως. δοκεῖ τὸ κατὰ Μύσκελλον ἱστορίας ἔχεσθαι τὸ λεχθέν. Μυσκέλλῳ γάρ φασι χρησμὸν δοθῆναι κτίζειν πόλιν, ὅπου ἂν αὐτὸν ἐξ αἰθρίας ὑετὸς λάβῃ. ὁ δὲ ᾤετο οὐκ ἄν ποτε ὑπ' αὐτοῦ κτισθήσεσθαι πόλιν διὰ τὸ ἀδύνατον τοῦ χρησμοῦ. παραγεγενημένου δ' αὐτοῦ περὶ τὴν G Ἰταλίαν καὶ ἀμηχανοῦντος περὶ τὴν κτίσιν, παρακαθίζουσαν τὴν παλλακίδα δακρύειν ἐπ' αὐτῷ ὀδυρομένην. καὶ τέλος εἰληφέναι τὸ χρηστήριον διὸ καὶ εὐθὺς ἔκτισε τὴν πόλιν. Τετρεμαίνειν.] κατὰ ἀναδιπλασιασμὸν ἀντὶ τοῦ φρίττειν καὶ δεδιέναι. τὸ γὰρ τρέμειν καὶ πάλλεσθαι τὸ σῶμα τῶν ἄγαν εὐλαβουμένων. Κρημνάμεναι.] κρεμάμεναι ἐκ τοῦ ἀέρος. ἢ ἐπικρεμάμεναι ἀλλήλαις καὶ ἐπιβαρούμεναι. περισσὸν δὲ τὸ εἶτα. Παταγοῦσιν.] ἠχοῦσιν, Ὅμηρος. Πάταγος δὲ διὰ στόμα γίνετ' ὀδόντων. Αἰθέριος δῖνος.] καὶ τοῦτο ἐθρυλλεῖτο παρὰ τοῖς φυσικοῖς. τουτέστι δίνησις ἡ αἰθερία. ταῦτα δὲ ἐκ τῶν Ἀναξαγορείων λαμβάνει. Δῖνος νυνὶ βασιλεύων.] ἔγνω ὅθεν ἔλαβε ἐκ τοῦ Διός. ὥσπερ εἰ ἔλεγε μὴ βασιλεύειν τὸν Δία, ἀλλὰ Δῖνον. οὐχ ὅτι τὴν δίνησιν ὑποβάλλει, ἐκ τούτου Δῖνος εἶπεν, ἀλλὰ κεραμεοῦν ἐστὶ βαθὺ ποτήριον ὃ καλεῖται Δῖνος. ὅπερ ἄνω εὐρύτερον ὄν, κάτω εἰς ὀξὺ λήγει. τὸ γὰρ γελοῖον ἐκ τούτου εἰς τὴν τοῦ Δίνου παρείληφε διάνοιαν.

Στρ. Φέ-